Ἀξιολόγου διηγήσεως, ὦ Φιλόκρατες, περὶ τῆς γενηθείσης ἡμῖν 1
ἐντυχίας πρὸς Ἐλεάζαρον τόν τῶν Ἰουδαίων ἀρχιερέα σύνεσταμένης,
διά τὸ σὲ περὶ πολλοῦ πεποιῆσθαι, παρ᾽ ἕκαστα †ὑπομιμνήσκων†,
συνακοῦσαι περὶ ὧν ἀπεστάλημεν καὶ διὰ τί, πεπείραμαι σαφῶς
ἐκθέσθαι σοι, κατειληφὼς ἣν ἔχεις φιλομαθῆ διάθεσιν, ὅπερ μέ- 2
γιστόν ἐστιν ἀνθρώπῳ, προσμανθάνειν ἀεί τι καὶ προσλαμβάνειν,
ἤτοι κατὰ τὰs ἱστορίας, ἢ καὶ κατ᾽ αὐτὸ τὸ πρᾶγμα πεπειραμένῳ.
οὕτω γὰρ κατασκευάζεται ψυχῆs καθαρὰ διάθεσις, ἀναλαβοῦσα τὰ
κάλλιστα· καὶ πρὸς τὸ πάντων κυριώτατον νενευκῦία τὴν εὐσέ-
βειαν ἀπλανεῖ κεχρημένη κανόνι διοικεῖ. Τὴν προαίρεσιν ἔχοντες 3
ἡμεῖς πρὸς τὸ περιέργως τὰ θεῖα κατανοεῖν, ἑαυτοὺς ἐπεδώκαμεν εἰς
τὸν προειρημένον ἄνδρα πρεσβείαν, καλοκαγαθίᾳ καὶ δόξῃ προτε-
τιμημένον ὑπό τε τῶν πολιτῶν καὶ τῶν ἄλλων, καὶ κατακεκτημένον
μεγίστην ὠφέλειαν τοῖς σὺν ἑαυτῷ καὶ τοῖς κατὰ τοὺς ἄλλους
τόπους πολίταις, πρὸς τὴν ἑρμηνείαν τοῦ θείου νόμου, διὰ τὸ γεγρά-
φθαι παῤ αὐτοῖς ἐν διφθέραις ἑβραϊκοῖς γράμμασιν. ἣν δὴ καὶ 4
ἐποιησάμεθα ἡμεῖς σπουδῇ, λαβόντες καιρὸν πρὸς τὸν βασιλέα περὶ
τῶν μετοικισθέντων εἰς Αἴγυπτον ἐκ τῆς Ἰουδαίας ὑπὸ τοῦ πατρὸς
τοῦ βασιλέως, πρώτως κεκτημένου τήν τε πόλιν καὶ τὰ κατὰ τὴν
Αἴγυπτον παρειληφότος. Ἄξιόν ἐστι καὶ ταῦτά σοι δηλῶσαι.
πέπεισμαι γάρ σε μᾶλλον ἔχοντα πρόσκλισιν πρὸς τὴν σεμνότητα 5
καὶ τὴν τῶν ἀνθρώπων διάθεσιν τῶν κατὰ τὴν σεμνὴν νομο-
θεσίαν διεξαγόντων, περὶ ὧν προαιρούμεθα δηλοῦν, ἀσμένως σε

---

2 ευτυχιας GZ | συνισταμενος T **3** υπομιμνησκειν Wend. (σκων codd omn **4** ων] ου K **6** προσμανμανοντι Z **7** om και I | κατ αυτο] κατα ταυτο HKAGI | πεπειραμενων HKGIT **8** διαθεσις καθ. K. **9** κυριωτερον K **10** διοικ. την προαιρεσιν. Εχοντες codd corr Wend. **11** προεδωκ. TZ | εις] εις την προς Wend. **12** τετιμ. TZ **13** κατεκτημ. HAI κατακτ. G txt KTZ **16** αυτου T **17** post σπουδη lacunam statuit Wend. **19** om τα TZ **21** προσκλησιν codd **23** δηλουντεσ μεν ως σε codd, txt ex conj Schmidt HKAGITZ

ἀκούσεσθαι, προσφάτως παραγεγενημένον ἐκ τῆς νήσου πρὸς
ἡμᾶς, καὶ βουλόμενον συνακούειν ὅσα πρὸς ἐπισκευὴν ψυχῆς
ὑπάρχει. καὶ πρόρερον δὲ διεπεμψάμην σοι περὶ ὧν ἐνόμιζον 6
ἀξιομνημονεύτων εἶναι τὴν ἀναγραφήν, ἣν μετελάβομεν παρὰ τῶν
κατὰ τὴν λογιωτάτην Αἴγυπτον λογιωτάτων ἀρχιερέων περὶ τοῦ
γένους τῶν Ἰουδαίων. φιλομαθῶς γὰρ ἔχοντί σοι περὶ τῶν δυνα- 7
μένων ὠφελῆσαι διάνοιαν δέον ἐστὶ μεταδιδόναι, μάλιστα μὲν πᾶσι
τοῖς ὁμοίοις, πολλῷ δὲ μᾶλλον σοὶ γνησίαν ἔχοντι τὴν αἵρεσιν, οὐ
μόνον κατὰ τὸ συγγενὲς ἀδελφῷ καθεστῶτι τὸν τρόπον, ἀλλὰ καὶ τῇ
πρὸς τὸ καλὸν ὁρμῇ τὸν αὐτὸν ὄντα ἡμῖν. χρυσοῦ γὰρ χάρις ἢ 8
κατασκευή τις ἄλλη τῶν τετιμημένων παρὰ τοῖς κενοδόξοις ὠφέλειαν
οὐκ ἔχει τὴν αὐτήν, ὅσον ἡ παιδείας ἀγωγὴ καὶ ἡ περὶ τούτων
φροντίς. ἵνα δὲ μὴ περὶ τῶν προλεγομένων μηκύνοντες ἀδόλεσχόν
τι ποιῶμεν, ἐπὶ τὸ συνεχὲς τῆς διηγήσεως ἐπανήξομεν.

§Κατασταθεὶς ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ 9 § Jos Eus
Φαληρεὺς ἐχρηματίσθη πολλὰ διάφορα πρὸς τὸ συναγαγεῖν, εἰ
δυντόν, ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία· καὶ ποιούμενος
ἀγορασμοὺς καὶ μεταγραφὰς ἐπὶ τέλος ἤγαγεν, ὅσον ἐφ᾽ ἑαυτῷ, τὴν
τοῦ βασιλέως ορόθεσιν. παρόντων οὖν ἡμῶν ἐρωτηθεὶς Πόσαι 10
τινὲς μυριάδες τυγχάνουσι βιβλίων; εἶπεν Ὑπὲρ τὰς εἴκοσι,
βασιλεῦ· σπουδάσω δ᾽ ἐν ὀλίγῳ πρὸς τὸ πληρωθῆναι πεντή-
κοντα μυριάδας τὰ λοιπά. προσήγγελται δέ μοι καὶ τῶν Ἰουδαίων
νόμιμα μεταγραφῆς ἄξια καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι.
Τί τὸ κωλῦον οὖν, εἶπεν, ἐστὶ σε τοῦτο ποιῆσαι; πάντα γὰρ ὑπο- 11
τέτακταί σοι τὰ πρὸς τὴν χρείαν. ὁ δὲ Δημήτριος εἶπεν
Ἑρμηνείας προσδεῖται· χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίων
χρῶνται, καθάπερ Αἰγύπτιοι τῇ τῶν γραμμάτων θέσει, καθὸ καὶ
φωνὴν ἰδίαν ἔχουσιν. ὑπολαμβάνονται Συριακῇ χρῆσθαι· τὸ δ᾽
